χωρεῖ. Διαίρεσιν δέ τινα προλαμβάνει τοῦ ὄντος πάνυ λυσιτελοῦσαν αὐτῷ πρὸς τὴν χρείαν, καὶ τὰ μέρη τῆς διαιρέσεως εὐσυνόπτως ἡμῖν ἀναπτύσσει· καὶ ἡ διαίρεσις τοιάδε ἐστί.

## XI.

ια'· Πῶς διαιρεῖται τὸ ὄν, καὶ τίς ἡ πρώτη αὐτοῦ διαίρεσις. f. 28

Τὸ ὄν, φησί, καθ' αὑτὸ διχῶς κατὰ τὸν Φιλόσοφον λέγεται ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά· πῇ μὲν τὸ διαιρούμενον εἰς τὰς δέκα κατηγορίας, οὐσίαν τε δηλονότι, ποσότητα, ποιότητα καὶ τὰ λοιπά· πῇ δὲ τὸ σημαῖνον τὴν ἀλήθειαν τῆς προτάσεως. Αὕτη δὲ τοῦ διδασκάλου ἡ διαίρεσις οὐκ ἔστι τοῦ ὄντος πρώτη διαίρεσις, ἀλλὰ τῇδέ πῃ μᾶλλον διαιρετέον αὐτό· τὸ ὂν ἢ καθ' αὑτό ἐστιν, ἢ κατὰ συμβεβηκός· λέγω δὲ κατὰ συμβεβηκὸς μέν, συγκείμενόν τι ἐκ δυοῖν ὅρων, ὅπερ ἢ τοιόνδε ἐν οὐδεμιᾷ κατηγορίᾳ ἐστί· καθ' αὑτὸ δέ, ἁπλοῦν τινα ὅρον. Τὸ μὲν οὖν κατὰ συμβεβηκὸς διχῇ πάλιν διαιρεῖται· ἐνίοτε μὲν γὰρ συνῆπταί τινα κατὰ συμβεβηκὸς οὕτως, ὥστε θάτερον αὐτῶν εἶναι συμβεβηκὸς τῷ λοιπῷ, οἷον ἄνθρωπος λευκός· ἔστι δ' ὅτε καὶ ἄμφω ἑτέρῳ συμβεβήκασιν, οἷον λευκὸν μουσικόν, ἃ τῷ Πέτρῳ συμβέβηκε· λέγοιντο δ' ἂν οὐ πάνυ κυρίως καὶ οἷς ἕν τι συμβέβηκε δυσὶν οὖσιν, ὂν κατὰ συμβεβηκός, οἷον Σωκράτης καὶ Πλάτων, οἷς ἀμφοῖν συμβέβηκεν ἡ λευκότης. Τὸ δὲ καθ' αὑτὸ ὂν εἴς τε τὸ ἐν τῇ ψυχῇ διαιρεῖται, τοῦτο δὲ ὂν τοῦ λόγου καλοῦμεν, καὶ εἰς τὸ ἔξω τῆς ψυχῆς, ὃ πραγματικὸν προσηγόρευται· ὧν θάτερον μὲν εἰς τὰς δέκα κατηγορίας διῄρηται τὸ πραγματικόν, θάτερον δέ ἐστι τὸ σημαῖνον τὴν ἀλήθειαν τῆς προτάσεως. Καὶ τούτου τῆς διαιρέσεως τοῦ μέρους ὁ διδάσκαλος οὗτος ἥψατο, τὰ λοιπὰ συντομίας εἵνεκα ὑπερβάς. Ἕκαστον δὲ αὖθις τῶν πραγματικῶς ὄντων εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ διῄρηται, καὶ ὁσαχῶς ἄλλως ὁ Φιλόσοφος διαιρεῖ ἔν τε τοῖς περὶ φύσεως καὶ ἄλλοθι. Δύναται δὲ καὶ τὸ τοῦ λόγου ὂν διακρίνεσθαι· τὸ μὲν γάρ ἐστιν αὐτοῦ στερητικὸν εἰλικρινῶς, ὡς αἱ στερήσεις καὶ ἀποφάσεις· τὸ δὲ οὐχ ὁμοίως ἐστὶν ἀρνητικόν, ὡς αἱ τοῦ λόγου ἀναφοραὶ καὶ αἱ δεύτεραι ἐπίνοιαι καὶ τὰ τοιάδε, περὶ ὧν βέλτιον ἐν τοῖς ἔμπροσθεν διορισθήσεται.

Τούτων δὲ διαφορά ἐστιν. — Ἐνταῦθα τοῖς μέρεσι τῆς διαιρέσεως σαφηνείας ἐπεξέρχεται χάριν καὶ διαφοράν τινα τίθησιν ἐν αὐτοῖς. Φησὶ γὰρ τῇδε διαφέρειν αὐτά, ὅτι κατὰ μὲν τὸν δεύτερον τρόπον δυνάμεθα λέγειν ὂν ἅπαν ἐκεῖνο περὶ οὗ δύναιτ' ἂν καταφατική τις μορφοῦσθαι πρότασις, κἂν μηδὲν ἐν τῇ τῶν πραγμάτων φύσει ἀνταποκρινόμενον ᾖ τῇ προτάσει μηδὲ τιθῇ τι ἡ πρότασις πρᾶγμα ἔξω τῆς ἡμετέρας ψυχῆς ὑφεστώς, καθ' ὃν δὴ τρόπον αἵ τε | στερήσεις καὶ ἀποφάσεις ὄντα λέγονται. f. 28v
Φαμὲν γὰρ τήν τε ἀπόφασιν ἀντικειμένην εἶναι τῇ καταφάσει καὶ τὴν

---

31 *Τούτων δέ*: c. I, 1, p. 155, 13



ΕΥ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τυφλότητα ἐν τῷ ὀφθαλμῷ εἶναι, ἀλλὰ κατὰ τὸν πρότερον τρόπον οὐκ ἔστι λέγεσθαι ὂν οὔτ' εἶναι ὅπερ οὐδὲν ἔξω τίθησιν ἐν τῷ πράγματι, καὶ ταύτῃ οὔθ' αἱ στερήσεις οὔθ' αἱ ἀποφάσεις ὄντα λέγονται· οὐδὲν γὰρ τιθέασιν ἐν τῷ πράγματι, ἀλλὰ μόνον ἀναιροῦσί τε καὶ ἀποσκευάζονται· τὸ γὰρ τῆς τυφλότητος ὄνομα οὐδὲν τίθησιν ἐν τῷ ζῴῳ πρᾶγμα, ἀλλὰ μόνον πρᾶγμα ἀναιρεῖ τὴν ὄψιν.

## XII.

### ιβ'. Ὅπως ἡ στέρησις καὶ ἡ ἀπόφασις καὶ τὰ ἐναντία συμβαίνουσί τε καὶ διαφέρουσιν.

Ἐνταῦθα δὴ καιρὸν ἂν ἔχοι σκοπεῖν πῶς ποτε ἔχει πρὸς ἄλληλα στέρησίς τε καὶ ἀπόφασις καὶ τὰ ἐναντία. Συντρέχουσι μὲν δὴ ταῦτα πάντα τῷ ἕκαστα αὐτῶν ἀναιρεῖν ὁτιοῦν καὶ ἀπωθεῖσθαι· διαφέρουσι δὲ τῇδέ πῃ. Στέρησις μὲν γάρ, ἀναιροῦσα τὴν ἕξιν τήν γε ἀντικειμένην, ὑποκείμενόν τι προϋποτίθησιν διωρισμένον τε καὶ τὸ πεφυκός, ὡς ἡ τυφλότης τὸν ὀφθαλμόν· τὸ δ' ἐφ' ἑαυτῇ, οὔτε εἶδός τι, οὔτε φύσιν τινὰ δηλοῖ· ὅθεν κατὰ Ἀριστοτέλην ἐν τετάρτῳ τῶν μετὰ τὰ φυσικά, ἡ στέρησίς ἐστιν ἀπόφασις ἐν τῷ πεφυκότι. Τὸ δὲ ἐναντίον ἀναιρεῖ μὲν τὸ ἐναντίον εἶδος μετὰ τοῦ προϋποτιθέναι τι ὁμοίως ὑποκείμενον διωρισμένον, τὸ ἐφ' ἑαυτῷ μέντοι γε φύσιν τινὰ καὶ εἶδός τι τίθησιν, ὥσπερ τὸ λευκὸν ἐκβάλλει μὲν τὸ μέλαν καὶ προϋποτίθησι ἐπιφάνειαν, προστίθησι μέντοι γε καὶ ἑαυτῷ φύσιν τινά· λόγος δὲ αὐτοῦ ἐστιν, ὅτι τἀναντία ἐν τῷ αὐτῷ γένει εἰσί, τῶν δὲ τοιούτων εἰ θάτερον φύσιν τινὰ σημαίνει, καὶ θάτερον δεῖ ἔχειν ὁμοίως. Ἡ δέ γε ἀπόφασις οὔθ' ὑποκείμενόν τι προϋποτίθησιν, οὔτε φύσιν λέγει τινά, ὡς τὸ μὴ ὄν.

## XIII.

### ιγ'. Εἰ τὸ ὂν τοῦ λόγου ὄν ἐστιν.

Ἅμα δὲ ἐκ τῶν εἰρημένων δῆλόν ἐστι τούς γε μὴ ἀξιοῦντας ὂν εἶναι τὸ τοῦ λόγου ὄν, περιφανῶς ἁμαρτάνειν· ἀδύνατον γὰρ εἶναι δοκεῖ διαιρεῖσθαι μέν τι εἰς ὁσαοῦν, μὴ κατηγορεῖσθαι δὲ ἑκάστου τούτων αὐτό, ὁποῖον ἂν εἴη τὸ διαιρούμενον καὶ ὅπως ἂν διαιροῖτο, εἴτε συνώνυμον δηλονότι, εἴτε ὁμώνυμον, εἴτε ἀναλογικόν, ὡς ἐναργές ἐστιν ἕκαστα διϊόντι. Τοῦ γὰρ καθ' αὐτό τε καὶ πράγματι ὄντος εἴς τε οὐσίαν διαιρουμένου καὶ συμβεβηκός, εἰ καὶ ἀναλογικῶς, οὐδὲν κωλύει τὸ συμβεβηκὸς ὂν πραγματικὸν λέγεσθαι, ὥσπερ δὴ καὶ τὴν οὐσίαν ὄν φαμεν εἶναι τοῦ πράγματος, εἰ καὶ μὴ ἔνεστι τῷ συμβεβηκότι ἡ τοῦ πραγματικῶς εἶναι f. 29 ἰδιότης ἐντελῶς οὕτω πάνυ καθάπερ καὶ τῇ οὐσίᾳ, | ὡς προϊοῦσι φανερωθήσεται. Ἐπεὶ τοίνυν, κατὰ τὴν Ἀριστοτέλους διδασκαλίαν, τὸ καθ' αὑτὸ

19 *τι* om L  35 *εἶναι* om L

Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2006

ὂν διαιρεῖται εἴς τε τὸ ἐν τῇ ψυχῇ ὄν, ὅπερ ἐστὶ τὸ τοῦ λόγου, καὶ τὸ ἔξω αὐτῆς, ὅ ἐστι τὸ τοῦ πράγματος, ὥσπερ δυνάμεθα λέγειν, ὅτι τὸ ἐν τῷ πράγματι ὄν, ὄν ἐστι καθ' αὑτό, οὕτως ἔξεστι λέγειν ἀληθῶς, ὅτι τὸ τοῦ λόγου ὄν, ὄν ἐστι, καὶ εἴ τις τοὐναντίον λέγει, συμπλέξει φανερῶς τὴν ἀντίφασιν. Εἰ μέντοι γε διαιροῖτό τι κατὰ ἀνάλυσιν, οὐκ ἂν καὶ αὐτὸ λέγοιτο κατὰ τῶν διαιρημάτων εἰκότως· ἄνθρωπος γὰρ εἰς ψυχὴν καὶ σῶμα διήρηται, καὶ τὸ μικτὸν εἰς τὰ τέσσαρα στοιχεῖα· καὶ οὔτε ἄνθρωπός ἐστιν ἡ ψυχὴ μόνη, ἢ τὸ σῶμα χωρίς, εἰ καὶ ὁ ἄνθρωπος μᾶλλόν ἐστι κατὰ τὴν ψυχήν· οὔτε τι τῶν στοιχείων, ἐξ ὧν ἐστι τὸ σύνθετον, δυνάμεθα λέγειν αὐτὸ εἶναι τὸ σύνθετον. Οὕτω μέντοι γε οὐ διαιρεῖται τὸ καθ' αὑτὸ ὂν ὑπ' Ἀριστοτέλους. Οὕτω τοίνυν δῆλόν ἐστιν, ὅτι τὸ τοῦ λόγου ὄν, ὄν ἐστιν ὁμολογουμένως, καὶ τὴν ἀντίφασιν ὁ τἀναντία λέγων ἐμπλέκει, ἀλλὰ τί φησιν ἡ τοῦ λόγου προσθήκη τοῦ ὄντος ἐστὶν ἀποσκευαστική. Ὅθεν τὸ λέγειν ὅτι τὸ τοῦ λόγου ὄν, ὄν ἐστι, σόφισμά ἐστι παρὰ τὸ πῇ καὶ ἁπλῶς· ὥσπερ ὅταν τις λέγῃ· ἄνθρωπός ἐστι τεθνεώς, ἄνθρωπος ἄρα ἐστίν· ἀλλὰ τοῦτο ψεῦδός ἐστιν· ἡ γὰρ τοῦ λόγου προσθήκη οὐκ ἀποσκευαστική ἐστι τοῦ καθ' αὑτὸ ὄντος, ἀλλὰ τῆς τοῦ πραγματικῶς εἶναι ἰδιότητος, ὡς δῆλον ἐστὶ τοῖς ἀκριβῶς σκοπουμένοις· ἄλλως γάρ, οὐκ ἂν ἦν ἀληθὴς ἡ διαίρεσις, καὶ ἑαυτὴν ἂν ἀνῄρει, ὃ γελοῖον ἐστὶ κατ' Ἀριστοτέλους αὐτοῦ τινὰ τολμᾶν ἀξιοῦν.

Τὸ τοίνυν ὄνομα τῆς οὐσίας οὐ λαμβάνεται. — Νῦν δείκνυσι πόθεν λαμβάνεται τὸ τῆς οὐσίας ὄνομα, καὶ φησὶν οὐ λαμβάνεσθαι ταύτην, ἐκ τοῦ ὄντος κατὰ τὸν δεύτερον νοουμένου τρόπον, καὶ τὴν αἰτίαν εὐθὺς ἀποδίδωσι· φαμὲν γάρ τινα, φησίν, ὄντα τοῦτόν γε τὸν δεύτερον τρόπον, ἃ μηδεμίαν ὕπαρξιν ἔχει, ὡς δῆλον ἐστὶν ἐπὶ τῶν στερήσεων· ἀλλ' ἐκ τοῦ ὄντος εἴληπται ἡ οὐσία, τοῦ κατὰ τὸν πρότερον τρόπον λεγομένου, ὅπερ ἐστὶ τὸ πράγματι ὄν, τὸ εἰς τὰ δέκα διαιρούμενον γένη. Καὶ τοῦτο βεβαιοῖ τῷ ἀξιώματι τοῦ Ὑπομνηματιστοῦ, καὶ ἡ λέξις πᾶσα τοῦ διδασκάλου σαφής ἐστιν, ἐναργῶς τε παρίστησιν ἡμῖν, ὡς ἄρα τὸ τοῦ λόγου ὂν ὁ διδάσκαλος οὗτος ὂν εἶναι ὁμολογουμένως ἐφρόνει· φησὶ γὰρ λέγεσθαί τινα ὄντα οὐσίαν οὐκ ἔχοντα, ὡς αἱ στερήσεις, ὥστε σαφές ἐστι καὶ κατ' αὐτὸν τὰς στερήσεις ὄντα τοῦ λόγου εἶναι.

## XIV.

ιδ'. Εἰ δυνατὸν λέγεσθαί τι ὄν, ὅπερ οὐκ ἔστιν οὐσία. f. 29v

Ἀλλ' ἐρεῖ τις, ὅτι τὸ εἶναί τινα ὄντα μὴ ἔχοντα οὐσίαν συμπλοκή ἐστιν ἀντιφάσεως· εἴρηται γὰρ ἀνωτέρω, ὡς ἄρα τὸ ὂν καὶ ἡ οὐσία ὡς τὸ συγκεκριμένον καὶ τὸ ἐξ ἀφαιρέσεως ἔχουσιν, οἷον λευκὸν καὶ λευκό-

---

21 *Τὸ τοίνυν ὄνομα*: texte, c. I, 1, p. 155, 20



Ε.Υ.Δ της Κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

της· ἀλλ' εἴ τις φαίη εἶναί τι λευκὸν καὶ μὴ ἔχειν αὐτὸ λευκότητα, τὴν ἀντίφασιν συνάξει προδήλως, εἴ γε τὸ εἶναι λευκὸν οὐδέν ἐστιν ἕτερον ἢ τὸ λευκότητα ἔχειν. Οὕτω τοίνυν, ἐπεὶ καὶ τὸ ὂν ταὐτόν ἐστι τῷ ἔχειν οὐσίαν, τὸ λέγειν τι εἶναι ὂν οὐκ ἔχον οὐσίαν συμπλοκή ἐστιν ἀντιφάσεως. Δεῖ δὴ πρὸς τοῦτο λέγειν, ὅτι τὸ ὂν διχῶς λαμβάνεσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς τὸ πράγματι ὄν, τὸ εἰς τὰ δέκα διαιρούμενον γένη, καὶ τοῦτο συγκεκριμένον ὁμολογουμένως ἐστίν, καὶ περὶ τούτου διαλεγομένους ψεῦδος ἐστὶν ἀξιοῦν, ὡς ἄρα ἔστι τι ὂν οὐκ ἔχον οὐσίαν· πραγματικὸν γάρ ἐστι τό γε τοιοῦτον, καὶ ἅπαν πραγματικὸν οὐσίαν ἔχει τινὰ καὶ ἔργῳ ἔστιν· καὶ τοῦτον τὸν τρόπον αἵ τε στερήσεις καὶ ἀποφάσεις οὐ τυγχάνουσιν ὄντα. Ἄλλον δὲ τρόπον λαμβάνεται ὂν τὸ διαιρεθὲν ἀνωτέρω εἴς τε τὸ ἐν τῇ ψυχῇ ὂν καὶ τὸ ἔξω αὐτῆς, καὶ τοῦτο τὸ ὂν οὐκ ἔστι συγκεκριμένον τῇ οὐσίᾳ, καὶ διὰ τοῦτο δύναταί τι λέγεσθαι ὂν κατὰ τὸν δεύτερον τρόπον, μὴ ἔχον οὐσίαν, ὥσπερ ἡ στέρησις. Κἂν λέγῃ τις, ὅτι καὶ τοῦτο τὸ ὂν συγκεκριμένον ἐστὶ προδήλως, οὐκοῦν δεῖ αὐτό τι ἔχειν ἐξ ἀφαιρέσεως, δεῖ λέγειν, ὅτι τὸ ἐξ ἀφαιρέσεως αὐτοῦ ἐστιν ἡ ὀντότης. Ὅθεν αἱ στερήσεις, εἰ καὶ μὴ ἔχουσιν οὐσίαν, ἔχουσι μέντοι γε τὰς ἰδίας ὀντότητας, ἀτελεῖς μέντοι, καθάπερ καὶ ὄντα ἀτελῆ εἰσιν· ὥστε ἔχουσι τὴν ὀντότητα τοῦ λόγου, ὥσπερ καὶ λόγου ὄντα εἰσί, καὶ διὰ τοῦτο ἐπὶ πλέον ἐστὶν ἡ ὀντότης τοῦ εἶναι.

Καὶ ἐπειδή, ὡς εἴρηται, τὸ ὄν. — Νῦν φανεροῖ πῶς τοὔνομα τῆς οὐσίας μεταφέρεται πρός τε τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος καὶ τὴν φύσιν, καὶ δίδωσι τὰς διαφοράς. Καὶ πρῶτον τίθησιν ἀναγκαῖόν τι καὶ χρειῶδες τοῖς προκειμένοις, λέγων ὡς ἐπειδήπερ τὸ ὄν, ὅθεν ἡ οὐσία λαμβάνεται, εἰς τὰ δέκα διαιρεῖται γένη καὶ κοινόν τί ἐστι ταῖς δέκα κατηγορίαις, δεῖ καὶ τὴν ἀπ' αὐτοῦ λαμβανομένην οὐσίαν κοινόν τι σημαίνειν πάσαις ταῖς φύσεσιν, δι' ὧν τά γε διάφορα ὄντα ἐν διαφόροις εἴδεσι καὶ γένεσι τάττονται, ὥσπερ ἡ ἀνθρωπότης κοινή ἐστι πᾶσι τοῖς μερικοῖς εἰς ἃ διαιρεῖται ὁ ἄνθρωπος. Προσάγων δὲ τῷ προκειμένῳ τὸ εἰρημένον καὶ πρῶτον
f. 30 ἐφαρμόζων αὐτὸ τῷ τί | ἦν εἶναι, φησὶν ὡς, ἐπειδὴ τὸ δι' οὗ τι καθίσταται πρώτως ἐν τῷ γένει ἢ τῷ εἴδει ἐστὶ τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον, τοῦ δηλοῦντος τί ἐστι τὸ πρᾶγμα, ἐντεῦθεν τοὔνομα τῆς οὐσίας, δι' οὗ τι ἐν γένει ἢ εἴδει τίθεται, εἰς τὸ τί ἦν εἶναι παρὰ τῷ Φιλοσόφῳ μεταλαμβάνεται, ὃ παρὰ Λατίνοις ἑνὶ δηλοῦται ὀνόματι ἀπὸ τοῦ τι παρηγμένῳ· λέγουσι γὰρ αὐτοὶ τὸ μέν τι κῖδ, τὸ δὲ τί ἦν εἶναι παραγώγως κιδίτητα, καὶ τουτ' ἔστι κιδίτης, φησίν, ὃ συνεχῶς ὁ Φιλόσοφος ὀνομάζει τὸ τί ἦν εἶναι, τουτέστι τὸ δι' οὗ τι ἔχει τὸ εἶναί τι. Δεύτερον, ἐφαρμόττει αὐτὸ τῷ εἴδει, φάσκων ὡς ἡ οὐσία λέγεται καὶ εἶδος καθὸ τῷ εἴδει

---

21 *Καὶ ἐπειδή*: texte, c. I, 2, p. 155, 26 23 *εἶναι* après *ἀναγκαῖον* add L

σημαίνεται ἡ ἑκάστου πράγματος ἀλήθεια καὶ ἀκρίβεια, ὡς Ἀβιγκένας ἐν δευτέρῳ τῆς μετὰ τὰ φυσικὰ πραγματείας αὐτοῦ φησί. Τρίτον, ἐφαρμόζει τῇ φύσει, λέγων ὡς ἡ οὐσία καὶ φύσις λέγεται, εἰ λαμβάνοιμεν τὴν φύσιν κατὰ τὸν πρότερον τρόπον τῶν τεσσάρων ἐκείνων, οὓς ὁ Βοήτιος ἀφορίζεται ἐν τῇ περὶ τῶν δύο φύσεων καὶ ἑνὸς προσώπου τοῦ Χριστοῦ πραγματείᾳ αὐτοῦ, καθὸ δηλονότι φύσις λέγεται εἶναι τὸ ὑπὸ τοῦ νοῦ δυνάμενον ὁπωσδηποτοῦν λαμβάνεσθαι· καὶ τὸν τούτου λόγον αὐτίκα ἐπάγει. Φησὶ γὰρ ὡς οὐδέν ἐστι νοητὸν εἰ μὴ τῷ ὁρισμῷ καὶ τῇ οὐσίᾳ αὐτοῦ διὰ τὸ ἀντικείμενον τοῦ νοῦ εἶναι τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν· βεβαιοῖ δὲ τοῦτο καὶ τῷ τοῦ Φιλοσόφου ἀξιώματι, λέγοντος ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά, ὅτι πᾶσα οὐσία φύσις τίς ἐστι. Ταῦτα εἰπών, καὶ τὴν ἐν τοῖς εἰρημένοις διαφορὰν ἀποδίδωσιν· ἡ γὰρ οὐσία λέγεται, φησί, φύσις, καὶ τὸ τῆς φύσεως ὄνομα προσελάβετο καθὸ ἡ οὐσία τάξιν ἔχει πρὸς τὴν ἰδίαν ἐνέργειαν· οὐδὲν γὰρ πρᾶγμα τῆς ἰδίας ἔρημόν ἐστιν ἐνεργείας, διότι, κατὰ τὸν Φιλόσοφον ἐν δευτέρῳ τῶν Φυσικῶν, ἡ φύσις ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας. Τὴν δὲ προσηγορίαν τοῦ τί ἦν εἶναι ἡ οὐσία λαμβάνει, καθόσον σημαίνεται τῷ ὁρισμῷ, ὃς τὸ τί ἐστι δηλοῖ· ἀλλ' οὐσία προσαγορεύεται καθὸ δι' αὐτῆς ἔστι τε τὸ πρᾶγμα καὶ τὸ εἶναι ἔχει· εἶδος δὲ καλεῖται, ὡς πρότερον εἴρηται, ᾗ δι' αὐτῆς ἡ κατὰ τὸ πρᾶγμα ἀλήθεια ἀποδείκνυται. Ταῦτα μὲν ἡ τοῦ διδασκάλου περιέχει λέξις.

## XV.

### ιε'. Ἐν τίνι συμφωνοῦσι καὶ διαφέρουσιν ἡ οὐσία, τὸ τί ἐστιν, τὸ εἶδος καὶ ἡ φύσις.

Πρὸς μείζω δὲ τῶν εἰρημένων σαφήνειαν εἰδέναι δεῖ, ὡς τὰ τέσσαρα ταῦτα, δηλονότι οὐσία, τί ἦν εἶναι, εἶδος καὶ φύσις ταὐτὸν μὲν εἰσὶ πάντα πραγματικῶς, λόγῳ δὲ διαφέρουσιν. Ἡ γὰρ ἀνθρωπότης πραγματικῶς μὲν | ἡ αὐτή ἐστι τῇ τοῦ ἀνθρώπου οὐσίᾳ καὶ τῷ τί ἦν εἶναι καὶ τῷ f. 30v εἴδει καὶ τῇ φύσει αὐτοῦ, ἀλλὰ λόγῳ διενηνόχασι καθὸ καὶ ἕκαστον αὐτῶν ἰδίας τετύχηκε προσηγορίας. Ἡ γὰρ ἀνθρωπότης οὐσία μὲν τοῦ ἀνθρώπου λέγεται εἶναι, ᾗ οὗτος ἔχει τὸ εἶναι ἄνθρωπος δι' αὐτῆς· ἡ αὐτὴ δὲ καὶ τὸ τί ἦν εἶναι τοῦ ἀνθρώπου λέγεται, καθόσον ἡ ἀνθρωπότης τῷ τοῦ ἀνθρώπου σημαίνεται ὁρισμῷ· οὐδὲν γὰρ σημαίνεται τῷ λόγῳ τῷ λέγοντι ζῷον λογικὸν θνητόν, εἰ καὶ τὸ θνητόν ἐστι διαφορὰ ἀνθρώπου, ἀλλ' ἢ ἡ ἀνθρωπότης αὐτή. Λέγεται δὲ καὶ εἶδος αὐτὴ τοῦ ἀνθρώπου, καθόσον διὰ τῆς ἀνθρωπότητος βεβαιοῦταί τε καὶ δῆλον καθίσταται τὸ τοῦ ἀνθρώπου εἶναι καὶ διακρίνεται παντὸς ἄλλου εἶναι. Λέγεται πρὸς τούτοις καὶ φύσις ἀνθρώπου ἡ ἀνθρωπότης, ᾗ ὁ ἄνθρωπος δι' αὐτῆς

---

5 *Κυρίου ἡμῶν* avant *Χριστοῦ* add L

Ε.Υ.Δ της ε.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνεργεῖ τὰς ἐνεργείας αὐτοῦ, ὁποῖαί ποτ᾽ ἂν εἶεν· ἀρχὴ δὲ τῶν ἐνεργειῶν ἡ φύσις ἐστίν, ὡς εἴρηται.

## XVI.

### ις΄. Πῶς ἕν εἰσι καὶ πῶς διαφέρουσιν ἡ οὐσία καὶ τὸ εἶναι τῆς οὐσίας, καὶ τί ἐστι πρότερον ἐν αὐτοῖς.

Πρὸς δὲ τούτοις κἀκεῖνο σημειοῦσθαι δεῖ, ὅτι εἰ καὶ ἡ οὐσία καὶ τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως πραγματικῶς, ὡς πρότερον εἴρηται, διαφέρουσιν, ἀλλ᾽ ἡ οὐσία καὶ τὸ εἶναι τῆς οὐσίας, ταὐτόν εἰσι πραγματικῶς καὶ ἅμα προάγονται κατὰ τὸν διδάσκαλον τοῦτον, διενηνοχότα μόνῳ τῷ λόγῳ. Ἡ μὲν γὰρ οὐσία ἐξ ἀφαιρέσεώς τι δηλοῖ, τὸ δὲ εἶναι, τὶ συγκεκριμένον· καὶ ἡ μὲν οὐσία λέγει τι ἁπλοῦν, τὸ δὲ εἶναι λέγει τι σύνθετον· καὶ ἡ μὲν οὐσία, αἰτίαν πως, τὸ δὲ εἶναι ἀποτέλεσμα, διότι τὸ εἶναι ἀποτέλεσμά ἐστιν οὐσίας. Ἐπεὶ δὲ τὸ ἐξ ἀφαιρέσεως πρότερόν ἐστι τοῦ συγκεκριμένου, καὶ τὸ ἁπλοῦν τοῦ συνθέτου, καὶ τὸ αἴτιον τοῦ ἐξ αἰτίας, διὰ τοῦτο καὶ ἡ οὐσία, ὅσον πρὸς τὴν τοῦ λόγου θεωρίαν, προτέρα τοῦ εἶναι λέγοιτ᾽ ἄν, πραγματικῶς δὲ ἕν εἰσιν ἄμφω. Διὰ τοῦτο καὶ χρώμεθα τῷ ὀνόματι τούτῳ τῷ τί ἐστιν ἀντὶ τῆς οὐσίας· διότι δὲ ἡ οὐσία προηγεῖται τοῦ εἶναι τῇ κατὰ τὸν λόγον ὁδῷ, χρώμεθα τῷ ὀνόματι τούτῳ τῷ τί ἦν εἶναι· διὰ γὰρ τοῦ παρῳχημένου τούτου τάξις τις ἐπιφέρεται, λόγου τοὐλάχιστον. Καὶ οὕτω πρόδηλός ἐστιν ἡ διαφορὰ τοῦ τε τί ἐστι καὶ τοῦ τί ἦν εἶναι. Τὸ δὲ παρὰ Λατίνοις ὄνομα ἡ κιδίτης ἑκατέρου τούτων διενήνοχεν ὡς τὸ ἐξ ἀφαιρέσεως τοῦ συγκεκριμένου.

## XVII.

### ιζ΄. Εἰ τὸ ὂν τοῦ λόγου συμβεβηκός ἐστιν.

Ἐνταῦθα ζητητέον ἂν εἴη εἰ τὸ ὂν τοῦ λόγου συμβεβηκός ἐστι· καὶ δόξειεν ἂν οὕτως ἔχειν, διότι πᾶν ὅπερ ἔστιν ἢ οὐσία ἐστίν, ἢ συμβεβηκός· ἀλλὰ τὸ τοῦ λόγου ὂν | οὐκ ἔστιν οὐσία, ὡς πάντες ἂν δήπου συμφαῖεν· ἔστιν ἄρα συμβεβηκός. (f. 31)

Ἔτι, πᾶν τὸ ἐν τῇ ψυχῇ συμβεβηκὸς εἶναι δοκεῖ τῇ ψυχῇ· ἀλλὰ τὸ τοῦ λόγου ὂν ἐν τῇ ψυχῇ ἐστι· ταύτῃ γὰρ τοῦ πράγματι ὄντος διακέκριται· ὥστε καὶ τὸ συμπέρασμα.

Ἀλλὰ τοὐναντίον ἐστὶν ἀληθές, ὅτι τὸ κατὰ τὸν λόγον ὂν οὐ τυγχάνει συμβεβηκὸς ἢ τὸ συμβεβηκὸς ἀντιδιῄρηταί τε τῇ οὐσίᾳ καὶ εἰς τὰ ἐννέα διαιρεῖται γένη· ὃ γὰρ οὐκ ἔστι πράγματι ὂν οὔτε συμβεβηκός ἐστιν, οὔτε οὐσία· τοιοῦτον δέ ἐστι τὸ τοῦ λόγου ὄν· ἀντιδιῄρηται γὰρ τῷ ὄντι πραγματικῶς. Ἐντεῦθεν δὲ καὶ ἡ πρὸς τὸ πρῶτον ἐπιχείρημα λύσις σαφής ἐστιν· οὐ γάρ ἐστιν ἀληθὲς ὅτι πᾶν ὅπερ ἔστιν ἢ οὐσία ἢ συμβεβηκὸς

---

34 τε: γε L

Ε.Υ.Δ τμ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπάρχει, ἀλλὰ μόνον ὅτι πᾶν ὅπερ ἔστι πραγματικῶς. Ὅθεν τὸ κατὰ τὸν λόγον ὂν οὔτε οὐσία ἐστίν, οὔτε συμβεβηκός· οὐ γὰρ ὑποπέπτωκε ταύτῃ τῇ διαιρέσει.

## XVIII.

ιη'. Ὁσαχῶς δύναταί τι εἶναι ἐν τῇ ψυχῇ.

Τὸ δὲ δεύτερον λύοιτ' ἂν οὕτως· τριχῶς λέγεταί τι εἶναι ἐν τῇ ψυχῇ· ἕνα μὲν τρόπον, ὡς συμβεβηκὸς ἐν ὑποκειμένῳ, καὶ οὕτως οὐδέν ἐστιν ἐν ψυχῇ εἰ μὴ πραγματικόν, ὡς τὰ εἴδη καὶ αἱ κατὰ νοῦν ἐνέργειαι· ἄλλον δὲ τρόπον, ὡς ἐν τῷ γινώσκοντι τὸ γνωστόν, καὶ ταύτῃ τό τε πραγματικῶς ὄν, τό τε κατὰ τὸν λόγον ὁμοίως ἐστὶν ἐν τῇ ψυχῇ, καθόσον ἔγνωσται ὑπ' αὐτῆς· τρίτον δέ, ὡς τὸ ἀποτέλεσμα ἐν τῇ αἰτίᾳ, καὶ οὕτω τὸ τοῦ λόγου ὂν μόνον ἐστὶν ἐν τῇ ψυχῇ, διότι πεποιημένον ἐστὶν ὑπ' αὐτῆς, οὐδόλως δὲ τὸ πράγματι ὂν ἐστιν ἐν αὐτῇ τοῦτον τὸν τρόπον. Ἢ δυνάμεθα λέγειν, ὅτι τὸ τοῦ λόγου ὂν ἐστιν ἐν τῇ ψυχῇ ὡς ἀκολουθοῦν τῇ τῆς ψυχῆς ἐνεργείᾳ, ἥτις ἐστὶν ὡς ἐν ὑποκειμένῳ τῇ ψυχῇ.

Ἀλλ' ἐπεὶ τὸ ὂν ἀπολελυμένως. — Φανερὸν ποιήσας ἡμῖν ὅθεν λαμβάνεται τοὔνομα τῆς οὐσίας, νῦν διορίζεται περὶ τῶν οὐσιῶν τῶν πραγμάτων· πρὶν δὲ εἰς τοῦτ' ἀφικέσθαι, τίθησι τινὰ συντελοῦντα αὐτῷ πρὸς τὴν τῶν προκειμένων ἀπόδειξιν· τρία δέ εἰσι ταῦτα· πρῶτον μὲν γὰρ τίθησι σύγκρισιν τῶν οὐσιῶν καὶ τῶν συμβεβηκότων κατὰ τὴν οὐσίαν· δεύτερον, παραβάλλει τὰς συνθέτους οὐσίας καὶ ἁπλᾶς, ὅσον κατὰ τὴν οὐσίαν· τρίτον, ἀποκρίνεται ζητήματί τινι, σιωπωμένῳ μὲν τέως, ἀντιτεθέντι δ' ἂν ὑπό τινος. Παραβάλλων τοίνυν πρῶτον τὰς οὐσίας τοῖς συμβεβηκόσιν, φησὶν | ὅτι καὶ αὐτὰ τὰ συμβεβηκότα, καθάπερ αἱ οὐσίαι, f. 31v ἔχουσι τὰς ἑαυτῶν οὐσίας πραγματικῶς διακεκριμένας· αὕτη μέντοι γε πρόσεστιν ἡ διαφορά, ὅτι ταῖς μὲν οὐσίαις κυρίως καὶ ἀληθῶς ἔνεστιν ἡ οὐσία, τοῖς δὲ συμβεβηκόσι τρόπῳ τινὶ καὶ πῇ· δείκνυσι δὲ τοῦτο λόγῳ τοιῷδε. Ὡς ἔχει τὸ ὂν πρὸς τὴν οὐσίαν καὶ τὰ συμβεβηκότα, οὕτω δήπου καὶ ἡ οὐσία· ἀλλὰ τὸ ὂν ἀληθῶς μὲν καὶ κυρίως κατὰ τῶν οὐσιῶν λέγεται, πῇ δὲ καὶ κατά τι κατὰ τῶν συμβεβηκότων, ὥστε καὶ ἡ οὐσία οὕτως. Τούτου τοῦ λόγου σιωπᾷ μὲν ὁ διδάσκαλος τὴν μείζω πρότασιν καὶ τὴν ταύτης ἀπόδειξιν, τοιαύτης γ' ἂν γενομένην· ἡ γὰρ οὐσία ἀπὸ τοῦ ὄντος παρείληπται, ὅπερ εἴς τε οὐσίαν διῄρηται καὶ συμβεβηκός, καὶ ἔστι κοινὴ τούτοις, ὥσπερ δήπου καὶ τὸ ὄν· οὐκοῦν ὑγιῶς ἕπεται, ὅτι καθάπερ ἔχει τὸ ὂν πρὸς τὴν οὐσίαν καὶ τὸ συμβεβηκός, οὕτω δήπου καὶ ἡ οὐσία πρὸς αὐτὰ ἔχει. Τὴν ἐλάττονά τε οὐ τίθησιν, ἀλλὰ τὴν ταύτης ἀπόδειξιν, λέγων ὅτι τὸ ὂν πρώτως μὲν καὶ ἀπολελυμένως περὶ τῶν οὐσιῶν λέγεται, ὑστέρως δέ γε καὶ πῇ κατὰ τῶν συμβεβηκότων. Ἀλλὰ κατ' ἐκείνου λέγεται τὸ ὂν

16 *Ἀλλ' ἐπεὶ τὸ ὄν*: c. II, 1, p. 156, 14  31 *σιωπεῖ* S

Ε.Υ.Δ της Β.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀληθῶς καὶ κυρίως, καθ' οὗ λέγεται ἀπολελυμένως τε καὶ προτέρως· τρόπῳ δέ τινι καὶ πῇ, καθ' οὗπερ ὑστέρως τε καὶ ἐν τῇ πρὸς τὸ πρότερον τάξει· ὥστε καὶ τὸ συμπέρασμα.

## XIX.

### ιθ'. Πῶς ἂν λέγοιτο τὸ ὂν πρῶτον κατὰ τῆς οὐσίας, ὕστερον δὲ κατὰ τοῦ συμβεβηκότος.

Πρὸς δὴ μείζω τῶν εἰρημένων σαφήνειαν δύο τινὰ σημειοῦσθαι δεῖ· πρῶτον, ὅτι τριῶν τούτων τρόπων ἑνί τινι διαιρεῖται πᾶν διαιρούμενον λογικῶς· ἢ συνωνύμως, ἢ ὁμωνύμως, ἢ ἀναλογικῶς. Διενηνόχασι δὲ ταῦτα τῇδέ πῃ ἀλλήλων, ὅτι τὸ μὲν συνώνυμον κατὰ τῶν ὑπ' αὐτὸ λέγεται κατὰ τὸ αὐτό τε ὄνομα καὶ τὸν αὐτὸν λόγον καὶ ὡσαύτως· τὸ δὲ ὁμώνυμον κατηγορεῖται τῶν ὑπ' αὐτὸ κατὰ τὸ αὐτό τε ὄνομα καὶ κατὰ διάφορον λόγον καὶ ἐπίσης· τὸ δὲ ἀναλογικῶς διαιρούμενον ὀνόματι μὲν κατηγορεῖται τῷ αὐτῷ, ἀποδόσει δέ τινι πρὸς τὸν αὐτὸν λόγον καὶ κατὰ τὸ πρότερόν τε καὶ ὕστερον· τὸ δὲ ὂν ἅτε διαιρούμενον εἰς οὐσίαν καὶ συμβεβηκὸς τῷ τρίτῳ τρόπῳ, τουτέστιν ὡς ἀνάλογον, εἴρηται κατηγορεῖσθαι τῆς μὲν οὐσίας προτέρως, ὑστέρως δὲ τοῦ συμβεβηκότος.

## XX.

### κ'. Διατί τὰ συμβεβηκότα οὐκ ἔχουσιν οὐσίαν κυρίως καὶ ἀληθῶς.

Δεύτερον, εἰδέναι δεῖ, ὅτι τὰ μὴ ἔχοντα τὴν οὐσίαν αὐθύπαρκτόν τε
f. 32 καὶ ἑστῶσαν | ἐφ' ἑαυτῇ ἀλλ' ἠρτημένην ἑτέρου, οὐδὲ οὐσίαν ἔχουσιν ἀληθῶς καὶ κυρίως· ἔστι γὰρ ἀληθῶς ὅπερ ἔχει τὸ εἶναι καθ' αὑτό· τὰ δὲ συμβεβηκότα πάντα ἔχουσι τὰς οὐσίας ἠρτημένας ἑτέρου καὶ ἀπηωρημένας οὕτως εἰπεῖν, οὐκ ἀπολελυμένας καὶ αὐθυποστάτους, διότι τὸ τοῦ συμβεβηκότος εἶναι τὸ ἐνυπάρχειν ἐστί. Τὰ ἄρα συμβεβηκότα οὐκ ἔχουσιν ἀληθῶς καὶ κυρίως οὐσίας.

## XXI.

### κα'. Εἰ πᾶν συμβεβηκὸς οὐσίαν ἔχει ἀπηρτημένην.

Ἐνταῦθα δὲ ἀπορία τις ἀναθρώσκει. Κατὰ γὰρ τὴν κοινὴν ἁπάντων διδασκαλίαν τρεῖς εἰσιν ἀπολελυμέναι κατηγορίαι· οὐσία, ποσότης καὶ ποιότης. Ἐπεὶ δὲ ἑκάστη τῶν κατηγοριῶν τῇ ἑαυτῆς ἔστιν οὐσία, ἑπόμενόν ἐστι τουτωνὶ τῶν τριῶν ἀπολελυμένας εἶναι τὰς οὐσίας, καὶ οὐκ ἀπηωρημένας τοὐλάχιστον. Οὐκοῦν ἡ ποσότης καὶ ἡ ποιότης ἀληθεῖς ἔχουσι τὰς οὐσίας, οὗ τοὐναντίον ὁ διδάσκαλος φησὶν ἐν τῷ γράμματι, πάνυ καλῶς ἀξιῶν μηδὲν συμβεβηκὸς ἔχειν οὐσίαν ἀληθῶς ἀπολελυμένην· καὶ

32 γὰρ om S

Ε.Υ.Δ της Κ.Α.Ι ΙΩΑΝΝΙΝΑ 2006

τούτου λόγος ἐστίν, ὅτι πᾶν ὅπερ ἐκ τῆς ἰδίας φύσεως ἀπηρτημένον ἐστίν, ἔχει τὴν οὐσίαν αὐτοῦ ἠρτημένην· ἀλλ' ἅπαν συμβεβηκὸς τῇ ἑαυτοῦ φύσει τῆς οὐσίας ἠρτημένον ἐστίν· ἅπαν ἄρα συμβεβηκὸς ἔχει τὴν οὐσίαν ἑαυτοῦ ἠρτημένην, οὐκ ἀπολελυμένην. Κατανοεῖν μέντοι γε χρή, ὅτι τριχῶς δύναταί τι εἶναι ἠρτημένον ἄλλου· ἕνα μὲν τρόπον, ὡς αἰτίας ποιητικῆς· ἄλλον δὲ τρόπον, ὡς ὑποκειμένου· τρίτον, ὡς ἀντικειμένου. Τὸν μὲν δὴ πρότερον τρόπον, πάντα τὰ παρὰ τὸν Θεὸν καὶ ὑπ' αὐτὸν ἔχουσι τὰς οὐσίας αὐτῶν ἠρτημένας, αὐτὸς δὲ μόνος ἔχει οὐσίαν ἀπολελυμένην· τῷ δὲ μετ' αὐτὸν τρόπῳ ἅπαντα τὰ συμβεβηκότα τὰς οὐσίας ἠρτημένας ἔχουσιν, μόνη δὲ ἡ οὐσία τὴν ἑαυτῆς οὐσίαν ἀπολελυμένην ἔχει, ἂν μὴ ᾖ τοῦ συνθέτου μέρος, ὡς ἡ ὕλη καὶ τὸ εἶδος, ἅπερ οὐκ εἰσὶ τέλεια ἐν τῷ τῆς οὐσίας γένει. Τὸν δέ γε τρίτον τρόπον πᾶσαι αἱ κατηγορίαι, πλὴν οὐσίας ποσότητος καὶ ποιότητος, οὐσίας ἔχουσιν ἀπηωρημένας, διότι πάντα ταῦτα ἤρτηται τῶν ἰδίων ἀντικειμένων· ὅθεν ἐκεῖνα πάντα διπλῶς εἰσιν ἠρτημένα, ὅσον τε πρὸς τὴν οὐσίαν καὶ ὅσον πρὸς τὰ ἀντικείμενα· ἡ δὲ ποσότης καὶ ἡ ποιότης, ἑνὶ τρόπῳ μόνον· ἤρτηται γὰρ μόνων τῶν οὐσιῶν. Ὅθεν, ἐπειδὰν ἡ | ποσότης καὶ ἡ ποιότης ἀπολελυμέναι κατηγορίαι καλῶνται, f. 32v δεῖ τοῦτο νοεῖσθαι τῇ ἀποβλέψει τῶν ἀντικειμένων, οὐ τῇ τῶν ὑποκειμένων, διότι πάντα ἤρτηνται τῶν ἰδίων ὑποκειμένων. Ἐντεῦθεν δὲ δήλη καὶ ἡ πρὸς τὸ ἐπιχείρημα λύσις.

Τῶν δὲ οὐσιῶν τινὲς μέν εἰσιν. — Ἐφεξῆς τὰς ἁπλᾶς οὐσίας καὶ τὰς συνθέτους παραβάλλει κατὰ τὴν οὐσίαν, καὶ σκοπεῖ πῶς ποτε ἑκάτεραι ἔχουσι πρὸς τὸ νῦν ἐξεταζόμενον ὄνομα τῆς οὐσίας καὶ πρᾶγμα. Θεὶς οὖν πρότερον τὴν τῶν οὐσιῶν διαίρεσιν καὶ διελόμενος αὐτὰς εἰς ἁπλᾶς τε καὶ συνθέτους, εἶτα προστίθησιν ἐν ἀμφοτέραις μὲν αὐταῖς τὴν οὐσίαν ὑπάρχειν, ἀληθεστέρῳ μέντοι γε καὶ τιμιωτέρῳ τρόπῳ ταῖς ἁπλαῖς ἐνυπάρχειν αὐτὴν ἢ ταῖς συνθέτοις, καὶ τοῦτο δείκνυσι λόγῳ τοιῷδε. Ὡς ἔχουσι πρὸς τὸ εἶναι αἱ οὐσίαι, οὕτω δὴ καὶ πρὸς τὰς οὐσίας, δηλαδὴ τὰς κατὰ τὸν λόγον καὶ τὸ τί ἦν εἶναι· ἀλλ' αἱ ἁπλαῖ τῶν οὐσιῶν ἔχουσι τὸ εἶναι τρόπῳ τιμιωτέρῳ ἢ αἱ συντεθειμέναι· καὶ τὰς οὐσίας ἄρα αὐτῶν, τάς γε τοιαύτας, τιμιωτέρας ἐκείνων ἔχουσιν. Ἡ μείζων ἀφ' ἑαυτῆς φανερά, διότι τὸ εἶναι ἔχει πρὸς τὴν οὐσίαν ὡς ἐνέργεια πρὸς δύναμιν· τὰ δὲ ἔχοντα τιμιωτέραν τὴν ἐνέργειαν ἔχουσι καὶ τιμιωτέραν τὴν δύναμιν. Ἡ ἐλάττων δείκνυται τῇδε· αἱ ἁπλαῖ οὐσίαι αἴτιοι τῶν συνθέτων εἰσί, καὶ εἰ μὴ πᾶσαι, τοὐλάχιστον ἡ πρώτη καὶ ἁπλουστάτη οὐσία, ἥτις ἐστὶν ὁ Θεός· ἀλλὰ τό τινος αἴτιον τιμιώτερον εἶναι ἔχει τοῦ ἰδίου αἰτιατοῦ· ἡ γὰρ αἰτία τιμιωτέρα ἐστὶ τοῦ ἀποτελέσματος. Τούτου μέντοι γε τοῦ λόγου ἡ ἐλάττων ἐν τῷ γράμματι κεῖται μόνη μετὰ τῆς ἀποδείξεως.

---

21 *Τῶν δὲ οὐσιῶν*: c. II, 2, p. 156, 18 33 *ἐλάττω* S

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XXII.

### κβ'. Ὅπως ἡ ἁπλῆ οὐσία ἔχει τιμιωτέραν οὐσίαν εἴτουν εἶδος τῆς συνθέτου, καὶ πῶς οὐκ ἔχει.

Δεῖ δὲ εἰδέναι, ὡς οὐκ ἔστιν ἀληθὲς ἁπλῶς καὶ καθόλου τὸ τὴν ἁπλῆν οὐσίαν εἶναι ἔχειν τιμιώτερον τῆς συνθέτου· ὁρῶμεν γὰρ τὸ μικτὸν σῶμα τιμιωτέραν οὐσίαν ἔχον τοῦ ἁπλοῦ σώματος, δηλαδὴ τοῦ στοιχείου. Ὅθεν πρὸς μείζω τούτου σαφήνειαν ἰστέον ἐστίν, ὅτι ἡ ἁπλῆ οὐσία, ὡς ἐνταῦθα λαμβάνεται, ἀντιδιῄρηται τῇ συνθέτῳ· διττὸν δὲ τὸ κατὰ τὴν ἁπλῆν οὐσίαν ἐστίν· ἣ μὲν γάρ ἐστι τοῦ συνθέτου μέρος, ἢ ἐκ τῆς ἰδίας φύσεως τὸ τοιαύτη τις εἶναι ἔχει· ἣ δὲ λέγεται καὶ ἁπλῆ διὰ τὸ μηδενὶ τρόπῳ εἶναι αὐτήν, ἢ εἶναι δύνασθαι μέρος συνθέτου κατ' οὐσίαν. Κατὰ μὲν δὴ τὸν πρότερον τρόπον οὐκ ἔστιν ἀληθὲς ὅ φησιν ὁ διδάσκαλος, f. 33 εἰ μὴ καὶ πᾶν τοὐναντίον· | γένοιτο δ' ἂν ὧδε σαφέστερον τὸ λεγόμενον. Τριχῶς δύναταί τις οὐσία σύνθετος ἐξ ἁπλῶν τινων οὐσιῶν συντεθεῖσθαι· ἕνα μὲν τρόπον, ἐξ ἁπλῶν οὐσιῶν ἐνεργείᾳ οὐσῶν τε καὶ μενουσῶν, καὶ τὸ οὕτω συντεθειμένον ἕν ἐστι κατά τινα ἐπισυναγωγήν, ὥσπερ τὴν οἰκίαν φαμὲν οὐσίαν σύνθετον εἶναι, λίθους δὲ καὶ ξύλα ἐξ ὧν συντέθειται, οὐσίας ἁπλᾶς· ὅπου δὴ καὶ σαφές ἐστι τὴν οἰκίαν, τελεωτέραν ἔχειν οὐσίαν ἢ ἔχει τὰ συντιθέντα· εἴ τι γὰρ τελειότητος ἔν τε λίθοις καὶ ξύλοις ἐστί, τοῦτό τε πᾶν ἐστιν ἐν τῇ οἰκίᾳ τῇ ἐκ τούτων συγκειμένῃ καί τι πλέον ἐστίν. Ἄλλον δὲ τρόπον σύγκειταί τι ἐξ ἁπλῶν, ἐνεργείᾳ μὲν πρότερον ὑπαρχόντων, γενομένης δὲ τῆς συνθέσεως, οὐ μενόντων ἐνεργείᾳ ἀλλὰ δυνάμει, καὶ οὕτω τὸ μὲν μικτὸν σῶμα σύνθετός ἐστιν οὐσία, τὰ δέ γε στοιχεῖα οὐσίαι ἁπλαῖ, ἐν οἷς, ὅτι τὸ μικτὸν ἀληθεστέραν καὶ τελεωτέραν οὐσίαν ἔχει τῶν ἁπλῶν στοιχείων, δῆλον ἐστίν. Τρίτον δὲ τρόπον ἐξ ἁπλῶν τινων σύγκειταί τι οὐκ ἐνεργείᾳ μενόντων οὐδ' ὑπαρχόντων, ἀλλ' ὧν θάτερον μέν ἐστιν ὡς ἐνέργεια, ὡς δύναμις δὲ τὸ λοιπόν, ὥσπερ τὸ μὲν ἁπλοῦν στοιχεῖον σύνθετός ἐστιν οὐσία, ἡ δὲ ὕλη καὶ τὸ εἶδος ἁπλαῖ εἰσιν οὐσίαι, ἐν οἷς ὁμοίως ἡ σύνθετος οὐσία, δηλαδὴ τὸ στοιχεῖον, τιμιωτέραν οὐσίαν ἔχει τῆς ὕλης αὐτοῦ καὶ τοῦ εἴδους.

Ταῦτα μὲν οὕτως ἔχει, κατὰ τὸν πρότερον τρόπον τῆς ἁπλότητος νοουμένης· κατὰ δέ γε τὸν δεύτερον, ἀληθές ἐστι τὸ ἐνταῦθα λεγόμενον, ὡς αἱ ἁπλαῖ οὐσίαι τελεωτέραν ἔχουσι τὴν οὐσίαν τῆς ἐν ταῖς συνθέτοις εὑρισκομένης· οὕτω γὰρ ἄγγελος μὲν καὶ Θεὸς ἁπλαῖ εἰσιν οὐσίαι, τὰ δὲ λοιπὰ πάντα σύνθετοι. Καὶ δῆλον πᾶσιν ἐστὶν ἐκείνας τὰς οὐσίας εὐγενεστέρας ἔχειν οὐσίας, ὅσῳ δὴ καὶ ἀΰλους. Τοῦτο δέ πως καὶ περὶ τῆς ἀνθρωπίνης ψυχῆς δυνατόν ἐστι λέγειν, ἐπειδὰν ᾖ κεχωρισμένη τοῦ σώματος, καθόσον κεχώρισται· ἔχει γὰρ τὸν τοῦ εἶναι τρόπον ταῖς κεχωρισμέναις οὐσίαις ὁμοίως, καὶ τελεωτέραν οὐσίαν ἔχει συνθέτου

παντός, εἰ καὶ μὴ οὕτω καθάπαξ ἔχει τελείαν τὴν οὐσίαν καθάπερ ὁ ἄνθρωπος, θεωρουμένη ὡς ἔστι μέρος τοῦ εἴδους καὶ μὴ ἔχουσα πλῆρες τὸ εἶδος.

Προστίθησι δὲ ὁ διδάσκαλος τῇ λέξει, ὅτι τοῦτ᾽ ἀληθές ἐστι τοὐλάχιστον περὶ τῆς πρώτης καὶ ἁπλῆς οὐσίας, | διότι οἱ ἀρχαῖοι τῶν φυσι- f. 33ᵛ
κῶν οὐδεμίαν οὐσίαν ἄνευ τῆς σωματικῆς εἶναι ὑπέθεντο· ὅθεν καὶ τὴν ψυχὴν σῶμα ἔλεγον εἶναι, ἣν δὴ δόξαν ἐπεχείρησάν τινες καὶ τῇ χριστιανικῇ ἐπεισάγειν πίστει, ἐσχηματίσθαι ταύτην λέγοντες καθὼς ἔξωθεν τὸ σῶμα σχηματίζεται, καὶ συμπάσχειν τῷ σώματι καὶ χωρίζεσθαι αὐτοῦ, καὶ ὁμοίαν γίνεσθαι τῷ κατὰ σωματικὴν ἀπόρροιαν γεννῶντι πατρί, ἔστιν ὅτε, καὶ τὰ τοιαῦτα, ἃ ῥᾴδιόν ἐστι λύειν. Περὶ δὲ τῆς πρώτης αἰτίας, ὅτι εὐγενεστέραν ἔχει τὴν οὐσίαν πάντων ὡς ἁπλουστάτη, οὐδεὶς ἀμφισβητεῖν μέλλει πλὴν τῶν ἀφρόνων, οἵτινες ἐν καρδίᾳ λέγουσι μὴ εἶναι Θεόν· ὄντα γάρ, καὶ τοιοῦτον εἶναι πᾶσα ἀνάγκη, ἐν τῷ ἐσχάτῳ δηλαδὴ τῆς ἀϋλίας καὶ ἁπλότητος ἱδρυμένον· πολλῶν γὰρ τρόπων εὑρισκομένων συνθέσεως, ὡς μετὰ ταῦτα κατὰ μέρος διορισθήσεται σὺν Θεῷ, οὐδεὶς ἁρμόττει τῇ θείᾳ φύσει, ἀλλ᾽ ἅπαντες ὁμοίως ἐκ τῆς ἁπλουστάτης ἐκείνης ἑνότητος ἀπελήλαται. Ἡ δὲ τῶν ἀγγέλων φύσις, εἰ καὶ ταῖς ὑλικαῖς φύσεσι παραβαλλομένη ἁπλῆ τέ ἐστι καὶ διὰ τοῦτο τιμιωτέραν αὐτῶν τὴν οὐσίαν ἔχει, ἀλλὰ πολὺ τῆς θείας ἁπλότητος ἀποδέει· ἐξ ὕλης μὲν γὰρ καὶ εἴδους οὐ σύγκεινται, οὔτε ἐν ὕλῃ ὑφεστήκασιν, ἀλλ᾽ ἕτερόν ἐστιν ἐν αὐταῖς τὸ εἶναι καὶ ὅ εἰσι, καὶ ἐνέργειά ἐστιν ἐν αὐτοῖς καὶ δύναμις ὑπὸ τῆς ἐνεργείας τελειουμένη· ταῦτα δὲ σύνθεσίν τινα ποιεῖ ἐν τοῖς οὕτως ἔχουσιν, ἃ πόρρω τῆς θείας τυγχάνουσι φύσεως.

Ἐφεξῆς λύει τινὰ ζήτησιν, ἥτις ἀντέπιπτεν ἂν αὐτῷ· εἶπε γὰρ ἄν τις τὸ μὲν ἄρχεσθαι τῆς διδασκαλίας ἐκ τῶν οὐσιῶν μᾶλλον ἢ τῶν συμβεβηκότων εὔλογον εἶναι· εἴρηται γὰρ τὴν οὐσίαν ἀληθέστερόν τινα καὶ κυριώτερον ἐν αὐταῖς εὑρίσκεσθαι τρόπον ἢ ἐν τοῖς συμβεβηκόσιν· τὸ δὲ περὶ τῶν συνθέτων οὐσιῶν πρότερον διορίζεσθαι ἢ περὶ τῶν ἁπλῶν δοκεῖ τοῖς περὶ αὐτῶν εἰρημένοις πρότερον οὐ συνᾴδειν· εἴρηται γὰρ καὶ περὶ αὐτῶν, ὡς ἀληθέστερον καὶ τιμιώτερον ἐν ταῖς ἁπλαῖς τὸ τῆς οὐσίας χρῆμα εὑρίσκεται· ὅθεν ἐχρῆν τὰς οὐσίας τῶν ἁπλουστάτων πραγμάτων προχειρισάμενον, οὕτω πρὸς τὰς τῶν συνθέτων κατιόντα καὶ περὶ αὐτῶν τὰ προσήκοντα θεωρεῖν. Πρὸς τοῦτο τοίνυν ὥσπερ ἀποκρινόμενος λέγει ὡς, εἰ καὶ τελεώτερόν ἐστιν ἡ οὐσία ἐν ταῖς ἁπλαῖς | ἢ ἐν ταῖς συγκειμέναις f. 34
τῶν οὐσιῶν, ἀλλ᾽ αἱ μὲν οὐσίαι τῶν ἁπλῶν ἀδηλότεραι ἡμῖν εἰσι καὶ μᾶλλον λανθάνουσαι, φανερώτεραι δὲ αἱ τῶν συνθέτων· καὶ οὕτω δέον ἀπὸ τῶν προχειροτέρων ἐπὶ τὰ χαλεπώτερα προχωρεῖν, ὡς ἐν προοιμίοις εἴρηται,

29 δεῖν avant ἢ περὶ add L 32 ἁπλουστέρων L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν περὶ τῶν σαφεστέρων διδασκαλίαν, αἵ εἰσιν αἱ τῶν συνθέτων ὄντων οὐσίαι, δικαίως προεστησάμεθα.

## XXIII.

### κγ'. Ὁσαχῶς δύναταί τι ἡμῖν εἶναι ἄγνωστον.

Ἐνταῦθα δεῖ θεωρεῖν, ὡς ἄρα διχῶς τι δύναται ἡμῖν κεκρυμμένον εἶναι καὶ ἄδηλον· ἢ ἐκ τοῦ μέρους τοῦ ἀντικειμένου, ἂν ὀλίγον αὐτῷ μετῇ τῆς τοῦ γινώσκεσθαι δύνασθαι ἰδιότητος, τοῦτο δὲ ἔνεστι πᾶσιν οἷς καὶ τῆς ὀντότητος ἀμυδρῶς μέτεστιν, ὡς ἔχουσιν αἱ ἀναφοραί, ὁ χρόνος, ἡ ὕλη καὶ τὰ τοιαῦτα, ἅπερ κρύφιά εἰσιν ὡς ἀληθῶς ἐξ ἡμῶν διὰ τὸ τῆς ὀντότητος αὐτῶν ἀδρανές· καὶ τοῦτον τὸν τρόπον οὐκ εἰσὶν ἡμῖν αἱ τῶν ἁπλῶν ὄντων οὐσίαι ἄδηλοι καὶ λανθάνουσαι, τοὐναντίον μὲν οὖν ἀφ' ἑαυτῶν εἰσι φανερώταται καὶ γνωριμώταται, ἅτε ἐντελεστάτας ἔχουσαι τὰς ὀντότητας. Ἢ τοίνυν ἐκ τοῦ γνωστοῦ τοῦτο συμβαίνει, ἢ διὰ τὴν ἔλλειψιν τῆς ἐν ἡμῖν γνωστικῆς δυνάμεως, οὐκ ἐχούσης ἀναλογίαν καὶ συμμετρίαν πρὸς τὸ ἀντικείμενον αὐτῇ, καὶ ταύτῃ καθάπαξ ἐστὶν ἀληθὲς τὸ λεγόμενον, ὡς ἄρα αἱ τῶν ἁπλῶν οὐσίαι ἄδηλοι ἡμῖν εἰσι καὶ ἐν τῷ κρυφίῳ λανθάνουσαι. Καὶ τοῦτ' ἔστιν ὅ φησιν Ἀριστοτέλης ἐν δευτέρῳ τῶν μετὰ τὰ φυσικά, πρὸς τὰ φύσει φανώτατα, τουτέστι τὰς κεχωρισμένας οὐσίας, ἔχειν τὸν ἡμέτερον νοῦν ὡς οἱ τῆς νυκτερίδος ὀφθαλμοὶ πρὸς τὸ ἡλιακὸν φῶς ἔχουσιν· δῆλον δ' ἔστιν, ὡς ἡ νυκτερὶς τὸ φῶς οὐχ ὁρᾷ τὸ ἡλιακὸν οὐ διά τινα ἔλλειψιν τοῦ ἡλίου ὡς μὴ οἵου τε ὄντος ὁρᾶσθαι καλῶς, ἀλλὰ δι' ἔλλειψιν τῆς ἐν ἑαυτῇ δυνάμεως, οὐκ οὔσης δηλαδὴ δραστηρίου πρὸς τὸ ὁρᾶν.

## XXIV.

### κδ'. Διατί περὶ τῶν χωριστῶν οὐσιῶν οὐ δυνάμεθα εἰδέναι τί εἰσίν, ἀλλὰ τί οὐκ εἰσίν.

Ἰστέον δὲ ὡς ἐν τῇ παρούσῃ ζωῇ οὐ δυνάμεθα περὶ τῶν κεχωρισμένων οὐσιῶν εἰδέναι τὸ τί εἰσιν διὰ τὸ ταύτας μὲν οὐδένα τρόπον ὑποπίπτειν τῇ αἰσθήσει, τὴν δὲ ἡμετέραν ἅπασαν γνῶσιν ἢ αἰσθητικὴν εἶναι, ἢ τὴν ἀρχὴν ἐκ τῆς αἰσθήσεως ἔχειν, ὡς ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς λέγεται. Δυνάμεθα δὲ γινώσκειν, ὅτι εἰσὶ διὰ τῶν ἀποτελεσμάτων αὐτῶν, ἃ δρῶσιν ἐν τοῖς κάτω καὶ πρὸς ἡμῖν, δυναμένων ἱκανῶς τὰς αἰτίας
f. 34v ἑαυτῶν φανεροῦν· ἅπαν γὰρ ἀποτέλεσμα, | ὁπόσον ἂν ἐλλιπὲς ᾖ, ἐνδείκνυται τὴν ἰδίαν αἰτίαν, οὐκ ἀποδεικνύον τὴν ἐκείνης οὐσίαν οὐδὲ πρὸς τὴν ἐκείνης γνῶσιν ἐνάγον, ἀλλὰ μόνον ὅτι αἰτία αὐτοῦ ἐστιν, πλὴν εἰ τὸ ἀποτέλεσμα ἀνάλογον εἴη πάνυ τῇ αἰτίᾳ, ὅπερ οὐκ ἔστιν ἀληθὲς ἐπὶ τοῦ προκειμένου. Χωρισθεῖσα μέντοι γε τοῦ σώματος ἡ ψυχὴ ἐπιστήσεται

---

6 *κεκρυμένον* S  32 *λέγεται: εἴρηται* S

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ αὐτῶν τί εἰσιν· ἕξει γὰρ τὸν αὐτὸν αὐταῖς τρόπον τοῦ τε εἶναι, τοῦ τε γινώσκειν· καὶ τοῦτ' ἔστιν ὃ καὶ Ἀριστοτέλει δοκεῖ ἐν τῶν μετὰ τὰ φυσικά λέγοντι, ὡς ἡ ἄγνοια, ἣν ἐνταῦθα περὶ τῶν χωριστῶν ὑφιστάμεθα οὐσιῶν, οὐκ ἔστιν ὥσπερ τυφλότης· ἐκ γὰρ τῆς ἀγνοίας ταύτης εἰς ἕξιν ποτὲ ἀφιξόμεθα, τοῦτο δ' οὐκ ἔστιν ἀληθὲς περὶ τῆς τυφλότητος· ἐξ αὐτῆς γὰρ πρὸς τὴν ὄψιν οὐδέποτε φυσικῶς ἐπάνοδος γίνεται. Εἰ δὲ καὶ μὴ δυνάμεθα περὶ τῶν κεχωρισμένων οὐσιῶν ἐπίστασθαι τί εἰσιν ἐν τῇ παρούσῃ ζωῇ, ἀλλ' εἰδέναι δυνάμεθα τί οὐκ εἰσὶν κατ' ἀφαίρεσιν πάντων, ἃ ταῖς ὑποκάτω φύσεσιν ἔνδειαν ἐπιφέρει· ἴσμεν γὰρ περὶ αὐτῶν, ὡς οὐκ εἰσὶν ἔνυλοι, οὔτε σωματικαί, οὔτε φθαρταί.

Ἐν ταῖς συνθέτοις τοίνυν οὐσίαις. — Πεπληρωκὼς ἐκεῖνα τὰ τρία κεφάλαια, ἅπερ ἐδόκουν αὐτῷ πρὸς τὴν τῶν προκειμένων θεωρίαν λυσιτελήσειν, νῦν ἐπεξέρχεται τῇ προθέσει, ἥτις ἦν, ἑπομένως τοῖς πρότερον εἰρημένοις, περὶ τῶν οὐσιῶν πάντων τῶν πραγμάτων διαλαβεῖν. Πρῶτον μὲν οὖν διαλαμβάνει τοῦτο περὶ τῶν αὐθυποστάτων ὄντων, ἅπερ οὐσίαν καλοῦμεν· δεύτερον, περὶ τῶν συμβεβηκότων· καὶ τῶν οὐσιῶν αὖθις τὰς συνθέτους πρὸ τῶν ἁπλῶν προχειρισάμενος, ἐπ' αὐτῶν ἐπεξεργάζεται τὸν σκοπὸν προτέρων· πραγματεύεται γὰρ πρῶτον μὲν περὶ τῶν οὐσιῶν αὐτῶν, ἑπομένως δὲ περὶ τοῦ πῶς ποτε αἱ οὐσίαι αὗται, τῶν συνθέτων δηλαδή, πρὸς τὰς ἐπινοίας τὰς λογικὰς ἔχουσιν· καὶ περὶ τὸ πρῶτον τρία ποιεῖ. Ἀποσκευάζεται μὲν εὐθὺς ἅπερ οὐ δυνατόν ἐστι τίθεσθαι οὐσίας τῶν συνθέτων πραγμάτων· συμπεραίνει δὲ μετὰ τοῦτο καὶ φανεροῖ τὴν ἀλήθειαν, ἐπὶ δὲ τούτοις ἀπορίαν τινὰ διακρούεται.

Ἀποσκευαζόμενος τοίνυν τὰ μὴ δυνάμενα ταῖς τῶν πραγμάτων οὐσίαις συναριθμεῖσθαι, τουτέστι τὴν ὕλην μόνην καὶ τὸ εἶδος ψιλὸν καὶ τὴν ἐν αὐτοῖς σχέσιν καί τι ἐπεισοδιῶδές τε καὶ ἐπείσακτον, ἀπὸ τῆς ὕλης προτέρας ἄρχεται· φανερὸν γάρ ἐστι, φησίν, ὡς ἐν ταῖς συνθέτοις οὐσίαις | ἐστὶν ὕλη καὶ εἶδος, ὡς ἐν ἀνθρώπῳ σῶμά τε καὶ ψυχή· ἀλλ' οὐδέτερον f. 35
αὐτῶν δυνατόν ἐστιν οὐσίαν προσαγορεύειν. Καὶ πρῶτον δείκνυσι τοῦτο περὶ τῆς ὕλης· δι' οὗ γὰρ ἔστι τι πρᾶγμα γνωστὸν καὶ δι' οὗ ἐν γένει ἢ εἴδει τίθεται, τοῦτο ἐστὶν ἡ οὐσία τοῦ πράγματος· διὰ δὲ τῆς ὕλης οὐκ ἔστι τι γνωστόν, οὔτε ἐν γένει ἢ εἴδει τάττεται δι' αὐτῆς. Ἡ τῶν προτάσεων μείζων σαφής ἐστι· τότε γὰρ τὸ πρᾶγμα τελείως γινώσκεται, ἐπειδὰν τελείως νοῆται· ἀλλὰ τὸ ἀντικείμενον τοῦ νοῦ ἐστιν ἡ οὐσία. Ἡ ἐλάττων τῇδε δείκνυται· ἕκαστον πρᾶγμα διὰ τῆς ἐνεργείας γινώσκεται, καὶ δι' αὐτῆς ἔν τε γένει καὶ εἴδει τίθεται· ἀλλ' ἡ ὕλη δύναμίς ἐστι μόνον· ἄρα καὶ τὰ λοιπά.

---

2 blanc laissé dans les codd. pour la référence  6 ὄψιν: ἕξιν L  11 *Ἐν ταῖς συνθέτοις*: c. II, 3, p. 156, 24  17 ἁπλῶν: ἄλλων L

Ε.Υ.Δ. τμ.Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006